[illegible] τοῦ λήμματος:

ἀπὸ τῆς Β. ἴσον τὸ ὑπὸ τῶν Γ Δ· ὡς ἄρα ἡ Α πρὸς
τὴν Β, οὕτως τὸ ἀπὸ τῆς Γ πρὸς τὸ ὑπὸ τῶν Γ Δ·
ὡς δὲ τὸ ἀπὸ τῆς Γ πρὸς τὸ ὑπὸ τῶν Γ Δ, οὕτως ἡ
Γ πρὸς τὴν Δ· καὶ ὡς ἄρα ἡ Α πρὸς τὴν Β, οὕτως ἡ
Γ πρὸς τὴν Δ. σύμμετρος δὲ ἡ Α τῇ Β δυνάμει μό
νον· σύμμετρος ἄρα καὶ ἡ Γ τῇ Δ δυνάμει μόνον·
καὶ ἐστὶ μέση ἡ Γ· μέση ἄρα καὶ ἡ Δ. καὶ ἐπεί ἐστιν ὡς ἡ
Α πρὸς τὴν Β ἡ Γ πρὸς τὴν Δ. ἡ δὲ Α τῆς Β μεῖζον
δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ· καὶ ἡ Γ ἄρα
τῆς Δ μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυ
τῇ. εὕρηνται δύο μέσαι δυνάμει
μόνον σύμμετροι αἱ Γ Δ ῥητὸν περι
έχουσαι· καὶ ἡ Γ τῆς Δ μεῖζον
δύναται τῷ ἀπὸ συμμέτρου ἑ
αυτῇ μήκει. ὁμοίως δὴ δειχθή
σεται καὶ τῷ ἀπὸ ἀσυμμέτρου ὅ
ταν ἡ Α τῆς Β μεῖζον δυνήσε
ται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ:-



λβ εὑρεῖν δύο μέσας δυνάμει μόνον συμμέτρους μέσον πε
ριεχούσας. ὥστε τὴν μείζονα τῆς ἐλάσσονος μεῖ
ζον δύνασθαι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. ἐκ
κείσθωσαν τρεῖς ῥηταὶ δυνάμει μόνον σύμμετροι
αἱ Α Β Γ· ὥστε τὴν Α τῆς Γ μεῖζον δύνασθαι τῷ
ἀπὸ συμμέτρου ἑαυτῇ· καὶ τῷ μὲν ὑπὸ τῶν Α Β
ἴσον ἔστω τὸ ἀπὸ τῆς Δ· μέσον ἄρα τὸ ἀπὸ τῆς
Δ· καὶ ἡ Δ ἄρα μέση ἐστίν· τῷ δὲ ὑπὸ τῶν Β Γ· ἴ

Δ Ε· καὶ ἐπεί ἐστιν ὡς τὸ ὑπὸ τῶν Α Β πρὸς
σον ἔστω τὸ ὑπὸ τῶν Δ Ε [illegible] ἡ Α πρὸς τὴν Γ· ἀλλὰ τῷ μὲν ὑπὸ
τὸ ὑπὸ τῶν Β Γ, οὕτως ἡ Α πρὸς τὴν Γ· τῷ δὲ ὑπὸ τῶν
τῶν Α Β· ἴσον ἐστὶ τὸ ἀπὸ τῆς Δ· ἔστιν ἄρα ὡς ἡ Α πρὸς
Β Γ ἴσον τὸ ὑπὸ τῶν Δ Ε· οὕτως τὸ ἀπὸ τῆς Δ πρὸς
οὕτως τὸ ἀπὸ τῆς Δ πρὸς τὸ ὑπὸ τῶν Δ Ε· ὡς δὲ τὸ
ἀπὸ τῆς Δ πρὸς τὸ ὑπὸ τῶν Δ Ε, οὕτως ἡ Δ πρὸς
τὴν Ε. καὶ ὡς ἄρα ἡ Α πρὸς τὴν Γ, οὕτως ἡ Δ πρὸς
τὴν Ε. σύμμετρος δὲ ἡ Α τῇ Γ δυνάμει μόνον· σύμ
μετρος ἄρα καὶ ἡ Δ τῇ Ε δυνάμει μόνον· μέση δὲ ἡ
Δ· μέση ἄρα καὶ ἡ Ε· καὶ ἐπεί ἐστιν ὡς ἡ Α πρὸς τὴν Γ
ἡ Δ πρὸς τὴν Ε· ἡ δὲ Α τῆς Γ μεῖζον δύναται τῷ
ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ ἡ Δ ἄρα τῆς Ε μεῖζον δυ
νήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ· λέγω δὴ ὅτι καὶ
μέσον ἐστὶ τὸ ὑπὸ τῶν Δ Ε· ἐπεὶ γὰρ ἴσον ἐστὶ τὸ ὑπὸ
τῶν Β Γ τῷ ὑπὸ τῶν Δ Ε· μέσον δὲ τὸ ὑπὸ τῶν Β Γ,
μέσον ἄρα τὸ ὑπὸ τῶν Δ Ε· εὕρηνται ἄρα δύο μέσαι
δυνάμει μόνον σύμμετροι αἱ
Δ Ε μέσον περιέχουσαι· ὥστε
τὴν μείζονα τῆς ἐλάσσονος
μεῖζον δύνασθαι τῷ ἀπὸ
συμμέτρου ἑαυτῇ· ὁμοίως
δὴ πάλιν δειχθήσεται καὶ τῷ
ἀπὸ συμμέτρου. ὅταν ἡ Α τῆς
Γ μεῖζον δύνηται τῷ ἀπὸ
ἀσυμμέτρου ἑαυτῇ:- + λῆμμα:-



ἔστω τρίγωνον ὀρθογώνιον τὸ ΑΒΓ. ὀρθὴν ἔχον τὴν

[illegible] τοῦ λήμματος [illegible]

[illegible] τοῦ λήμματος [illegible]

αἱ Α Β Γ ῥηταὶ δυνάμει μόνον σύμμετροι.

[illegible]

BIBLIOTHECA BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo